160. PREDICTION OF THE DESTRUCTION OF THE TEMPLE (Matt-Mk Identical)

| Matt 24:1,2 | Mark 13:1, 2 |
|---|---|
| Καὶ ἐξελθὼν ὁ Ἰησοῦς | Καὶ ἐκπορευομένου αὐτοῦ |
| ἀπὸ τοῦ ἱεροῦ ἐπορεύετο, | ἐκ τοῦ ἱεροῦ |
| καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ | λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ, |
| ἐπιδεῖξαι αὐτῷ | Διδάσκαλε, ἴδε ποταποὶ λίθοι |
| τὰς οἰκοδομὰς τοῦ ἱεροῦ· | καὶ ποταπαὶ οἰκοδομαί. |
| 2 ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, | 2 καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ, |
| Οὐ βλέπετε ταῦτα πάντα | Βλέπεις ταύτας τὰς μεγάλας οἰκοδομάς |
| ἀμὴν λέγω ὑμῖν, | |
| οὐ μὴ ἀφεθῇ | οὐ μὴ ἀφεθῇ |
| ὧδε λίθος ἐπὶ λίθον | ὧδε λίθος ἐπὶ λίθον |
| ὃς οὐ καταλυθήσεται. | ὃς οὐ μὴ καταλυθῇ. |

30 words out of 79 words = 38%